εἰκόνα. οὐκοῦν οἴχεται μετὰ τῶν λοιπῶν αὐτῶν
προβλημάτων καὶ ἡ παροῦσα τερθρεία. γέλωτος
δὲ ἄξια καὶ τὰ ἐπιφερόμενα.

## ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Οὐ μὴν ἀλλὰ καὶ Ἄρειον καὶ Διόσκορον, καὶ
Εὐτυχέα, καὶ Σεβῆρον, τοὺς σύγχυσιν καὶ φυρ-
μὸν ἐπὶ τῶν δύο φύσεων τοῦ ἑνὸς Χριστοῦ δογ-
ματίζοντας.

## ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ὢ τῶν ἀπερισκέπτων αὐτῶν καὶ γραϊκῶν μύ-
θων, καὶ τοῦ κεκρυμμένου δόλου. πάλιν γὰρ ταῖς
αὐταῖς φίλον αὐτοῖς ἐστιν ἐνδιατρίβειν φλυα-
ρίαις· ἢ ἀγνοοῦσι τὴν ἐναντιότητα τῶν ὑπ᾽ αὐ-
τῶν ἠριθμημένων αἱρεσιωτῶν, ἢ ἑκόντες φλυα-
ρεῖν προαιροῦνται. Ἀρείου γὰρ, Διοσκόρου τε καὶ
Εὐτυχέος αἱ αἱρέσεις ἐναντίαι πῶς εἰσι τῷ
Νεστορίῳ, καὶ ἀλλήλαις μάχονται, κἂν ὁμότι-
μοι τὴν ἀσέβειαν Ἄρειος γὰρ ἐξ οὐκ ὄντων
εἰς τὸ εἶναι λέγων τὸν προαιώνιον καὶ ἄκτιστον
λόγον τοῦ Θεοῦ καὶ πατρὸς, προστίθησι τῇ ἀσε-
βείᾳ καὶ ἑτέραν αἵρεσιν, μὴ ἔχειν λέγων τὸν
Χριστὸν ψυχὴν λογικὴν, ἀλλ᾽ ἀντὶ τῆς ψυ-
χῆς τὴν θεότητα, ἣ καὶ τὸ πάθος προσῆπτε.
Διόσκορος δὲ καὶ Εὐτυχὴς τῷ Νεστορίῳ λέ-
γοντι δύο φύσεις καὶ ὑποστάσεις ἐπὶ Χριστοῦ ἐξ
ἐναντίας φερόμενοι, τὰς φύσεις συγχέοντες,
μίαν ἐκενολόγησαν, καὶ πόῤῥω τῆς βασιλικῆς
ὁδοῦ βαδίσαντες τῆς μὴ ἐκκλινούσης μήτε δε-
ξιὰ μήτε ἀριστερὰ, τῆς ἀποστολικῆς καὶ πατρι-
κῆς διδασκαλίας ἐξετράπησαν. καὶ τίς ἡ κοι-
νωνία καὶ συμφωνία τῇ καθολικῇ τοῦ Θεοῦ ἀ-
γίᾳ ἐκκλησίᾳ ἕνεκεν τῶν ἐξηγητικῶν ἀναζω-
γραφήσεων μετὰ Ἀρείου καὶ Διοσκόρου καὶ Εὐτυ-
χοῦς; ἀλλ᾽ ἢ μόνον κενοὶ λόγοι καὶ ἐξίτηλοι,
Κολασ. 4. καὶ ἀποστολικοῦ παραγγέλματος ἀλλότριοι,
διαγορεύοντος· ὁ λόγος ὑμῶν πάντοτε ἔσω
ἐν τῇ χάριτι, ἅλατι ἠρτυμένος. οὓς βδελυτ-
Ἰώβ. 6. τόμενος καὶ ὁ πολύαθλος Ἰὼβ ἔλεγεν. εἰ
βρωθήσεται ἄρτος ἄνευ ἁλός; εἰ δὲ ἔστι γεῦ-
μα ἐν ῥήμασι κενοῖς; πρόκειται οὖν, ὡς εἰ-
κῆ καὶ μάτην κατηγοροῦσι τῆς τοῦ Θεοῦ ἐκ-
κλησίας, πῇ μὲν λέγοντες Νεστορίῳ τῷ δυσ-
σεβεῖ καὶ διαιρέτῃ ταύτην συμφέρεσθαι εἰκονο-
γραφοῦσαν τὴν τοῦ κυρίου ἐνανθρώπησιν, πῇ
δὲ Εὐτυχεῖ καὶ Διοσκόρῳ τοῖς ἐναγέσι καὶ συγ-
χυτικοῖς. καὶ πρόδηλον, καθὼς ἀποδέδεικται,
ὡς ἐναντίως μὲν ἀλλήλοις ἔχουσιν, ἄμφω δὲ
τῇ ἐκκλησίᾳ προσπολεμοῦσιν. εἰ γὰρ δῶμεν
τῷ Νεστορίῳ κατὰ τὴν αὐτῶν φωνὴν τὴν ἐκ-
κλησίαν παρέπεσθαι, διαψεύδονται, λέγοντες τῷ
Εὐτυχεῖ καὶ Διοσκόρῳ ταύτην ὁμονοεῖν. εἰ δὲ
τοὐναντίον Εὐτυχεῖ καὶ Διοσκόρῳ συμφρονεῖν
συγχωρήσωμεν, καὶ ἐν τούτῳ πεφανέρωνται ψευ-
δολογοῦντες. ὡς γὰρ φθάσας ὁ λόγος ἀπέ-

δειξε, Νεστόριος καὶ Εὐτυχὴς ἀλλήλων τῇ ἀ-
σεβείᾳ διεννηνόχασι, καὶ ἄλογος καὶ περιττὸς ὁ
τοιοῦτος αὐτῶν παρασυλλογισμός.

# ΤΟΜΟΣ Γ.

## ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Καὶ ἐπειδὴ ἐπ᾽ ἀκάνθαις ἀροτριάσαντες,
τῶν ἀποστολικῶν σπερμάτων ἀλλότρια
φθέγγονται, τῶν δὲ αἱρετικῶν ζιζανίων βλα-
στήματα καρποφοροῦσι, πρὸς αὐτοὺς ὁ Θεὸς διὰ
τοῦ προφήτου βοᾷ· ποιμένες πολλοὶ διέφθειραν Ἱερεμ. 12.
τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου,
ταύτῃ λέγοντες.

## ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Ὅθεν δίκαιον ᾠήθημεν, λεπτομερῶς διὰ
τοῦ παρόντος ἡμῶν ὅρου ἀποδεῖξαι τὴν τῶν ποι-
ούντων καὶ σεβομένων πλάνην. πάντων οὖν τῶν
θεοφόρων πατέρων, καὶ τῶν ἁγίων καὶ οἰκου-
μενικῶν συνόδων τὴν καθαρὰν καὶ ἀμίαντον καὶ
θεαπόδεικτον πίστιν ἡμῶν καὶ ὁμολογίαν οὕτως
παραδεδωκότων, τοῦ μηδένα τρόπον διαιρέσεως
ἢ συγχύσεως ἐπινοεῖν τινα εἰς τὴν ὑπὲρ νοῦν τε
καὶ ἔννοιαν, ἄῤῥητόν τε καὶ ἄγνωστον ἐκείνην ἕνω-
σιν τῶν δύο καθ᾽ ὑπόστασιν μίαν τοῦ μονωτάτως
δηλουμένου προσώπου φύσεων.

## ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Οὕτως τὴν ἑαυτῶν πλάνην ἔδειξαν λεπτο-
μερῶς οἱ ματαιόφρονες. πάντων γὰρ τῶν ἁγίων
πατέρων ἡμῶν τῶν καὶ ἐν ταῖς ἁγίαις ἓξ οἰ-
κουμενικαῖς συνόδοις ἀθροισθέντων τὰς σεπτὰς
εἰκονικὰς ἀναζωγραφήσεις καθιδρυσάντων ἐν τοῖς
ἁγίοις ναοῖς, καὶ ἐν ἄλλοις ἐπιτηδείως ἔχου-
σι τόποις, καὶ ἀποδεξαμένων ταύτας, αὐτοὶ ἀ-
ποκηρύκτους πεποιήκασι διά τινων παρεγγρά-
πτων λογιδείων, πλάνην λέγοντες, καὶ εἰδωλο-
λατρείαν ἑτέραν παρὰ τὴν δαιμονικὴν ἀντεισά-
γοντες. καὶ δύο πραγμάτων ἀλλήλοις ἀντικαθι-
σαμένων οὐ διέστειλαν παρ᾽ ἑκατέροις αὐτῶν. τὰ
γὰρ εἰς δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ
ἀνάμνησιν τῆς ἐν σαρκὶ πολιτείας τελούμενα,
καὶ τὰ διὰ δόξαν καὶ μνήμην δαιμονίων ὑπὸ
τῶν αὐτοῖς λατρευόντων Ἑλλήνων καὶ Ἰουδαίων
τινῶν γεγενημένα, μίαν καὶ τὴν αὐτὴν ὀνομα-
σίαν τοῖς στόμασιν αὐτῶν περιφέρουσι, καὶ γρα-
φῇ παραδοῦναι ἀνηχυνώτησαν, μιγνύντες τὰ ἄ-
μικτα, καὶ προφασιζόμενοι προφάσεις ἐν ἁ-
μαρτίαις. διαιρέσεως καὶ συγχύσεως περιβομβοῦ-
σι ληρῳδήματα εἰς τὴν θεολογικὴν ἐπιστήμην
τῆς καθολικῆς ἐκκλησίας· καὶ φλυαροῦσι λέγον-
τες, μηδένα τρόπον διαιρέσεως ἐπινοεῖν ἐν τῇ
καθ᾽ ὑπόστασιν σαρκὶ ἑνώσει τοῦ Θεοῦ λόγου. καὶ